τί περισσὸν τῷ ἀνθρώπῳ;
12 ὅτι τίς οἶδεν τί ἀγαθὸν τῷ ἀνθρώπῳ ἐν τῇ ζωῇ
ἀριθμὸν ἡμερῶν ζωῆς ματαιότητος αὐτοῦ;
καὶ ἐποίησεν αὐτὰς ἐν σκιᾷ·
ὅτι τίς ἀπαγγελεῖ τῷ ἀνθρώπῳ
τί ἔσται ὀπίσω αὐτοῦ ὑπὸ τὸν ἥλιον;
7 1 Ἀγαθὸν ὄνομα ὑπὲρ ἔλαιον ἀγαθὸν
καὶ ἡμέρα τοῦ θανάτου ὑπὲρ ἡμέραν γενέσεως αὐτοῦ.
2 ἀγαθὸν πορευθῆναι εἰς οἶκον πένθους
ἢ ὅτι πορευθῆναι εἰς οἶκον πότου,
καθότι τοῦτο τέλος παντὸς τοῦ ἀνθρώπου,
καὶ ὁ ζῶν δώσει εἰς καρδίαν αὐτοῦ.
3 ἀγαθὸν θυμὸς ὑπὲρ γέλωτα,
ὅτι ἐν κακίᾳ προσώπου ἀγαθυνθήσεται καρδία.
4 καρδία σοφῶν ἐν οἴκῳ πένθους,
καὶ καρδία ἀφρόνων ἐν οἴκῳ εὐφροσύνης.
5 ἀγαθὸν τὸ ἀκοῦσαι ἐπιτίμησιν σοφοῦ
ὑπὲρ ἄνδρα ἀκούοντα ᾆσμα ἀφρόνων·
6 ὅτι ὡς φωνὴ τῶν ἀκανθῶν ὑπὸ τὸν λέβητα,
οὕτως γέλως τῶν ἀφρόνων·
καί γε τοῦτο ματαιότης.
7 ὅτι ἡ συκοφαντία περιφέρει σοφὸν
καὶ ἀπόλλυσι τὴν καρδίαν εὐτονίας αὐτοῦ.
8 ἀγαθὴ ἐσχάτη λόγων ὑπὲρ ἀρχὴν αὐτοῦ,
ἀγαθὸν μακρόθυμος ὑπὲρ ὑψηλὸν πνεύματι.
9 μὴ σπεύσῃς ἐν πνεύματί σου τοῦ θυμοῦσθαι,
ὅτι θυμὸς ἐν κόλπῳ ἀφρόνων ἀναπαύσεται.
10 μὴ εἴπῃς Τί ἐγένετο
ὅτι αἱ ἡμέραι αἱ πρότεραι ἦσαν ἀγαθαὶ ὑπὲρ ταύτας;
ὅτι οὐκ ἐν σοφίᾳ ἐπηρώτησας περὶ τούτου.
11 ἀγαθὴ σοφία μετὰ κληροδοσίας
καὶ περισσεία τοῖς θεωροῦσιν τὸν ἥλιον·
12 ὅτι ἐν σκιᾷ αὐτῆς ἡ σοφία ὡς σκιὰ τοῦ ἀργυρίου,

11$^{2}$ τι] οτι S* || 12$^{1}$ τι] τις S*†, > B | ζωη B†] + αυτου rel. | 12$^{3}$ αυτα BS | εν σκια] εως σκιας Sc†, ως σκιαν V | 12$^{5}$ fin.] add. stichum και καθως εστε(pro -ται) τις απαγγελει αυτω A†
7 1$^{2}$ γεννησεως B | αυτου > BS* || 2$^{2}$ η οτι] παρα V†, παρα το Sc† | 2$^{3}$ τουτο] + το A† | του > BA | 2$^{4}$ δωσει *O*La†] + αγαθον mss. | εν καρδια A† || 3$^{1}$ αγαθος S | 3$^{2}$ καρδια > B† || 6$^{1}$ οτι > BS | των > B† | 6$^{2}$ γελως] ο γελως ο A || 7$^{2}$ απολλυσι B†] -υει rel.: cf. 15 et Thack. p. 246 | ευτονιας] -αν S*(†), ευγενειας B || 8$^{2}$ πνευματι] πνευμα τιμης BS*†: μης ex 9$^{1}$ huc trahunt, sed etiam ibi μη σπευσης retinent || 10$^{2}$ προτερον A || 11$^{1}$ κληρονομιας B || 12$^{1}$ η σοφια] της -ας ScV† | του > B

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/254 UNIVERSITÄT LEIPZIG